Τῷ καιρῷ εκείνω, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας.

Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. **Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου.**

Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν.

**Ἀπόδοση στη νεοελληνική:**

Τον καιρό εκείνο, ἐστάθηκε ὁ Ἰησοῦς εἰς ἕνα τόπον πεδινὸν ὅπου ἦσαν πολλοὶ μαθηταί του καὶ πολὺς κόσμος ἀπὸ ὅλην τὴν Ἰουδαίαν καὶ τὴν Ἱερουσαλὴμ καὶ τὴν παραλίαν τῆς Τύρου καὶ Σιδῶνος, οἱ ὁποῖοι εἶχαν ἔλθει διὰ νὰ τὸν ἀκούσουν καὶ νὰ θεραπευθοῦν ἀπὸ τὶς ἀρρώστειες τους καὶ ὅσοι ἐνωχλοῦντο ἀπὸ πνεύματα ἀκάθαρτα, ἐθεραπεύοντο. Καὶ ὅλος ὁ κόσμος ἐζητοῦσε νὰ τὸν ἀγγίξῃ, διότι ἔβγαινε ἀπὸ αὐτὸν δύναμις καὶ τοὺς ἐθεράπευε ὅλους.

Τότε ἐσήκωσε τὰ μάτια του πρὸς τοὺς μαθητάς του καὶ ἔλεγε, «Μακάριοι εἶσθε σεῖς οἱ πτωχοί, διότι δική σας εἶναι ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι εἶσθε σεῖς ποὺ τώρα πεινᾶτε, διότι θὰ χορτάσετε. Μακάριοι εἶσθε σεῖς ποὺ τώρα κλαῖτε, διότι θὰ γελάσετε. **Μακάριοι εἶσθε, ὅταν σᾶς μισήσουν οἱ ἄνθρωποι καὶ ὅταν σᾶς ἀφορίσουν καὶ σᾶς ὀνειδίσουν καὶ δυσφημήσουν τὸ ὄνομά σας ὡς πονηρὸν ἐξ αἰτίας τοῦ Υἱοῦ τοῦ ἀνθρώπου.**

Χαρῆτε τὴν ἡμέραν ἐκείνην καὶ πηδῆστε ἀπὸ χαράν, διότι ἡ ἀνταμοιβή σας θὰ εἶναι μεγάλη εἰς τὸν οὐρανόν· τὰ ἴδια ἔκαναν οἱ πατέρες των καὶ εἰς τοὺς προφήτας.


Phoca PDF